# ΠΑΣΧΑ ΚΥΡΙΟΥ

## Τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἡ Ἀνάστασις




*Ψηφιδωτὰ (α΄ μισὸ ΙΑ΄ αἰ.), Ἱ. Μ. Ὁσίου Λουκᾶ.*

**Τροπάριον.**
Ἦχος πλ. α΄.

**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

**Ἡ Ὑπακοή.** Ἦχος δ΄.

**Π**ρολαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου· Τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡ ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα· δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον· ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων.

**Κοντάκιον.** Ἦχος πλ. δ΄. Αὐτόμελον.

**Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες, ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ Μυροφόροις φθεγξάμενος, Χαίρετε· καὶ τοῖς Σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

**Στίχοι.**

**Χ**ριστὸς κατελθὼν πρὸς πάλην ᾍδου μόνος,
**Λ**αβὼν ἀνῆλθε πολλὰ τῆς νίκης σκῦλα.

## Τῇ Ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα

*(Πράξ. α΄ 1-8· Ἰωάν. α΄ 1-17)*

**Α**ἱ εἰς τὸν ἐνταφιασμὸν τοῦ Σωτῆρος, κατὰ τὴν ἑσπέραν τῆς Παρασκευῆς, παρευρεθεῖσαι γυναῖκες, Μαρία ἡ Μαγδαληνὴ μετὰ τῶν λοπῶν, ὑποστρέψασαι ἀπὸ τοῦ Γολγοθᾶ εἰς τὴν πόλιν, ἡτοίμασαν ἀρώματα καὶ μύρα, ἵνα ἐλθοῦσαι μετὰ ταῦτα ἀλείψωσι τὸ Σῶμα τοῦ Ἰησοῦ· καὶ τῇ μὲν ἐπαύριον, διὰ τὴν περὶ τῆς ἀργίας τοῦ Σαββάτου ἐντολὴν ἡσύχαζον δι᾽ ὅλης τῆς ἡμέρας. **Κ**ατὰ δὲ τὸν βαθὺν ὄρθρον

τῆς ἐφεξῆς Κυριακῆς, ἥτις ὑπὸ τῶν Εὐαγγελιστῶν ὀνομάζεται πρώτη Σαββάτου καὶ μία Σαββάτων, ἤγουν πρώτη τῆς ἑβδομάδος ἡμέρα, Μαρτίου τότε κε΄, μετὰ τριάκοντα ἓξ ὥρας σχεδὸν ἀπὸ τῆς τοῦ ζωοδότου Λυτρωτοῦ νεκρώσεως, ἔρχονται μετὰ τῶν νεκρωσίμων ἀρωμάτων εἰς τὴν μνημεῖον. Καὶ ἐνῷ διαλογίζονται τὴν δυσκολίαν τῆς τοῦ λίθου ἀποκυλίσεως ἐκ τῆς θύρας τοῦ μνημείου, γίνεται σεισμὸς φοβερός· καὶ Ἄγγελος ἀστραπηφόρος τὴν ὄψιν, χιονόφωτος τὴν στολήν, ἀποκυλίσας τὸν λίθον καὶ καθεσθεὶς ἐπ᾽ αὐτοῦ ἀπενέκρωσεν ἀπὸ τοῦ φόβου τοὺς φύλακας, καὶ ἔτρεψεν αὐτοὺς εἰς φυγήν. Αἱ δὲ γυναῖκες εἰσελθοῦσαι εἰς τὸ μνημεῖον καὶ μὴ εὑροῦσαι τὸ Σῶμα τοῦ Ἰησοῦ, βλέπουσιν ἄλλους δύο Ἀγγέλους λευκοφοροῦντας, ἐν σχήματι ἀνδρικῷ, οἳ καὶ μηνύσαντες τὴν ἔγερσιν τοῦ Σωτῆρος, ἀποστέλλουσιν αὐτάς, ἵνα δραμοῦσαι ταχέως, ἀπαγγείλωσιν εἰς τοὺς Μαθητὰς τὰ φαιδρὰ εὐαγγέλια. Ἐν τοσούτῳ φθάνει καὶ ὁ Πέτρος μετὰ τοῦ Ἰωάννου, μαθόντες τὰ γενόμενα παρὰ τῆς Μαγδαληνῆς, ὡς εἴρηται, καὶ εἰσελθόντες εἰς τὸν τάφον εὑρίσκουσι μόνα τὰ σάβανα. Διὸ ἐπανέρχονται πάντες εἰς τὴν πόλιν μετὰ χαρᾶς, κήρυκες τῆς ὑπερφυοῦς Ἀναστάσεως τοῦ Χριστοῦ, ὃν καὶ εἶδον ζῶντα πραγματικῶς πεντάκις κατὰ τὴν σήμερον Ἑορτήν.

Ταύτην οὖν τὴν χαρμόσυνον Ἀνάστασιν ἑορτάζοντες σήμερον, ἀσπαζόμεθα ἀλλήλους τὸν ἐν Χριστῷ ἀσπασμόν, δεικνύοντες διὰ τούτου τὴν κατάλυσιν τῆς πρώην ἔχθρας μεταξὺ ἡμῶν καὶ τοῦ Θεοῦ, καὶ τὴν πρὸς ἡμᾶς πάλιν Αὐτοῦ διαλλαγὴν διὰ τοῦ Πάθος τοῦ Σωτῆρος. Καὶ ἡ μὲν ἑορτὴ ὀνομάζεται Πάσχα, ὁμωνύμως τῷ Πάσχᾳ τῶν Ἑβραίων, ὅπερ κατὰ τὴν γλῶσσαν αὐτῶν, σημαίνει διάβασιν· διότι ὁ παθὼν καὶ ἀναστὰς Ἰησοῦς διεβίβασεν ἡμᾶς ἐκ τῆς κατάρας τοῦ Ἀδὰμ καὶ τῆς δουλείας τοῦ διαβόλου εἰς τὴν ἀρχαίαν ἐλευθερίαν καὶ μακατριότητα. Ἡ δὲ παροῦσα τῆς ἑβδομάδος ἡμέρα, ἥτις ἐστὶν ἡ πρώτη τῶν λοιπῶν, ἀφιερωθεῖσα εἰς τὴν τιμὴν τοῦ Κυρίου, ἐπωνομάσθη ἐκ τοῦ ὀνόματος αὐτοῦ Κυριακή, καὶ εἰς αὐτὴν μετετέθη ὑπὸ τῶν Ἀποστόλων ἡ ἀργία καὶ ἡ ἀνάπαυσις τῆς ἑορτῆς τοῦ Σαββάτου τοῦ παλαιοῦ νόμου.